## Ἀσεβὴς ἀλλὰ προληπτικός.

Οἱ προληπτικοὶ συνήθως ἀπαντῶσιν ἐν τοῖς πολλοῖς ἐκείνοις τῶν ἀνθρώπων ὁμίλοις παρ' οἷς ἀδιάσειστος διατελεῖ ἡ πρὸς πάσας τὰς θρησκευτικὰς παραδόσεις πίστις, παρ' οἷς τὸ θεῖον δοξάζεται παρεμβαῖνον, ὡς αἱ μυθολογούμεναι Μοῖραι, ἐν ἁπάσαις ἑκάστου βροτοῦ ταῖς περιπετείαις. Καὶ ὅμως συνέτυχόν ποτε παραδόξῳ προληπτικῷ, ὅσπερ πολέμιος τῶν δογμάτων ὅλων τῆς οἰκουμένης, καὶ αὐτῶν δῆλα δὴ ἀκόμη τῶν ἀποκαλυφθέντων μὲν πρῶτον τῇ ἀνθρωπότητι ἀπὸ τοῦ ὄρους Σινᾶ, διακηρυχθέντων δὲ εἶτα θεοπρεπῶς ἀπὸ τοῦ ὄρους τῶν Ἐλαιῶν καὶ ἐπὶ τέλους τῇ ἐπιγείῳ θυσίᾳ οὐρανίως μαρτυρηθέντων ἀπὸ τοῦ Γολγοθᾶ, κατείχετο, ἣν ὅτε, ὑπὸ τοῦ τῶν κοινῶν καὶ ἀμαθῶν δέους καὶ ὠρρώδει μέν τινας τῶν ἁγίων τοῦ θεοῦ ἡμερῶν, ἐπτοημένος δὲ ἀνέμενε δυσμοίρως τι συμβησόμενον ὁπότε τύχῃ τινὶ ἐνατένιζεν εἰς τὸν ἀριθμὸν 13.

Τὸ κατ' ἐμέ, στερρῶς μὲν εἰσαεὶ ἀντεχόμενος τῆς τῶν πατέρων πίστεως, ἀλλὰ τὰ ἐπὶ γῆς γιγνόμενα πάντα ἀποδιδοὺς τῇ ἐλευθέρᾳ τοῦ ἐλευθέρου ἀνθρώπου βουλήσει, τὸ δὲ θεῖον δοξάζων μὴ τοῖς ἀνθρωπίνοις ἀναμίγνυσθαι χρήμασιν ἢ ὅπως αἱ Γραφαὶ διδάσκουσι καὶ κελεύουσιν εἰώθειν σκώπτειν τὸν ἄνδρα καὶ ἀπορῶν ἠρώτων εἰς ὅ,τι αὐτῷ ὠφέλησεν ἡ φιλοσοφία καὶ ἡ πρὸς τὰ τοῖς πολλοῖς δεδογμένα ἀσέβεια, εἴγε, καθάπερ τὰ γραΐδια, τὰς Μοίρας ἐπικλωθούσας τὰ τοῖς ἀνθρώποις ξυμβαίνοντα, ὁ σοφὸς αὐτός, ἡγεῖται καὶ ἀριθμοῖς τισιν ἰσχὺν ἀποδιδοὺς πανσθενῆ ὥςπερ φαντάσματα τούτους οἴεται τῶν ἐν Ἅδου κακοποιῶν δαιμόνων, οἷς ἐπίστευον καὶ δὴ καὶ νῦν ἔτι πιστεύουσιν ἐκ τῶν χριστιανῶν ὅσοι τῶν Γραφῶν ἐπιλανθάνονται πολλαχῶς διατρανουσῶν ὅτι διὰ τοῦ μαρτυρίου τοῦ θεανθρώπου ἥττηται μὲν ὁ Ἑωσφόρος κατήργηται δὲ ὁ Διάβολος καὶ πεπάτηται. Ἀλλ' ὁ συνήθης μοι ἐκεῖνος ὁ ὑπὲρ πᾶσαν ἔννοιαν καὶ πάντα λόγον παράξενος «κἂν με πείσῃς οὔ με